Ross 977	Vaticanus Rossianus 977, saec. XVI
Par 2460	Parisinus 2460, saec. XVI (p. Bm; 118 Jan)
Barb 265	Vaticanus Barberinus 265, saec. XVI (B. Bm; B. = 173 Jan)
Ambr 700	Mediolanensis Ambrosianus 700, saec. XVI
Vat 221	Vaticanus 221, annis 1535–49 (150 Jan)
Laur 64	Florentinus Laurentianus Acquisti Doni 64, saec. XVI (34 Jan)
Escor 13	Escorialensis Y-I-13, saec. XVI (16^a Jan)
Reg 108	Vaticanus Reginensis 108, saec. XVI (171^a Jan)

Bm	Bellermann, F., Anonymi scriptio de musica (v. s.)
Vc	Vincent, A. J., Notice sur divers manuscrits grecs relatifs à la musique (v. s.)
Re	Ruelle, C. E., La Solmisation chez les anciens Grecs (v. s.)
Dür	Düring, I., Porphyrius Tyrius, In Ptolemaei Harmonica, Göteborg 1932
Jan	Jan, C. v., Musici Scriptores Graeci, Lipsiae 1895
Mb	Meibom, M., Antiquae musicae auctores septem, Amstelodami 1652
W.-I.	Winnington-Ingram, R. P., Aristides Quintilianus, De musica, Lipsiae 1963
Alyp.	Alypius, Isagoge, ed. C. v. Jan, Musici Scriptores Graeci, Lipsiae 1895, p. 357
Anon.	Anonymus in hoc volumine editus
Aristid. Quint.	Aristides Quintilianus, De musica, ed. R. P. Winnington-Ingram, Lipsiae 1963
Aristox. harm.	Aristoxenus, Elementa harmonica, ed. R. da Rios, Romae 1954
Bacchius	Bacchius, Isagoge, ed. C. v. Jan, Musici Scriptores Graeci, Lipsiae 1895, p. 283
Boeth. inst. mus.	Boethius, De institutione musica, ed. G. Friedlein, Lipsiae 1867
Gaudentius	Gaudentius, Harmonica introductio, ed. C. v. Jan, Musici Scriptores Graeci, Lipsiae 1895, p. 317
Nicom. Ger. harm.	Nicomachus Gerasenus, Harmonicum enchiridion, ed. C. v. Jan, Musici Scriptores Graeci, Lipsiae 1895, p. 209
Nicom. Ger. excerpta	Excerpta ex Nicomacho, ibidem p. 266
Pollux	Pollux, Onomasticon, ed. E. Bethe, Lipsiae 1900
Porph. in Ptolem. harm.	Porphyrius Tyrius, In Ptolemaei Harmonica, ed. I. Düring, Göteborg 1932

ANONYMVS I

ΤΕΧΝΗ ΜΟΥΣΙΚΗΣ

Ὁ ῥυθμὸς συνέστηκεν ἔκ τε ἄρσεως καὶ θέσεως καὶ χρό- 1
νου τοῦ καλουμένου παρά τισι κενοῦ. διαφοραὶ δὲ αὐτοῦ αἵδε·

μακρὰ δίχρονος —

μακρὰ τρίχρονος └─

μακρὰ τετράχρονος └┘

μακρὰ πεντάχρονος └┴┘

1 *τέχνη μουσικῆς* et in marg. *Ἀριστείδου κοϊντιλιανοῦ περὶ μουσικῆς τέλος* **B**: *Ἀριστείδου τοῦ Κοϊντιλιανοῦ τέχνη μουσική* inter finem Aristidis et initium huius textus inser. **C**: titulum rubricandum om. **A** || 2 *Ὁ* **BC**: ut litteram initialem rubricandam om. **A** || 3 *παρά* **AB**: $\overset{\epsilon}{\Pi}$ **C** || 5 — **BC**: — ¯ **A**, sed lineola altera ex puncto nata videtur, cum signa sequentia hac interpunctione adhibita scripta sint └─ • └┘ • └┴┘ •

2 *Τὰ δὲ τοῦ μέλους ὀνόματά τε καὶ σημεῖα καὶ σχήματα οὕτω τέτακται·*

πρόληψις	F̮C F̮◡ F̮ᒣ F̮<
ἔκληψις	C̮F ◡̮F ᒣ̮F {ᒣ̮F} <̮F
πρόκρουσις	FC F◡ Fᒣ F<
ἔκκρουσις	CF ◡F ΓF <F
ἐκκρουσμός	FCF C◡C
κομπ⟨ισμ⟩ός	F+F C+C ◡+◡ ᒣ+ᒣ <+<
μελισμός	F×F C×C ◡×◡ ᒣ×ᒣ <×<
⟨τερετισμός⟩	F+F×F

3 *Ἡ μὲν οὖν θέσις σημαίνεται, ὅταν ἁπλῶς τὸ σημεῖον ἄστικτον ᾖ, οἷον ⊢, ἡ δ' ἄρσις, ὅταν ἐστιγμένον. ὅσα οὖν ἤτοι δι' ᾠδῆς ἢ μέλους χωρὶς στιγμῆς ἢ χρόνου τοῦ καλουμένου κενοῦ παρά τισι γράφεται ἢ μακρᾶς διχρόνου — ἢ τριχρόνου ∟ ἢ τετραχρόνου ⊔ ἢ πενταχρόνου ш, τὰ μὲν ⟨ἐν⟩ ᾠδῇ κεχυμένα λέγεται, ἐν δὲ μέλει μόνῳ καλεῖται διαψηλαφήματα.*

1 *μέλους* **BC**: *τέλους* **A** || **3** *πρόληψις* **AC**: *πρόσληψις* **B** | C **AC**: ɕ **B**, sic et saepius | ◡ corr. Bm : C **ABC** | F◡ᒣ **AB** : F · ᒣ · **C** | F◡< **B** : F< **A** : F<̣· **C**, sed primum punctum utroque loco e signo ◡ ortum esse app*a*ruerit || **4** C◡F **AB** : CFC | ᒣ◡F seclusi | <◡F **AB** : <FC || **5** *πρόκρουσις* **AC**: *πρόσκρουσις* **B** | F◡ om. **C** | F< corr. Vc : ᒣK codd. || **7** FCFC◡C **BC**: ·F·CFC◡·C· **A**; nescio an plura exemplaria omissa sint || **8** *κομπισμός* conieci | + **AC** ubique: ⸸ **B** primo, secundo, tertio, quinto loco, quarto autem χ || **9** *μελισμός* **AC**: *κομπισμὸς διαστολὴ μελισμός* **B** | X **AC** primo loco, reliquis ⁒ : Ϫ **B** ubique: ◡X Re: X scripsi omnibus locis || **10** *τερετισμός* supplevi || **11—12** *ἄρσις* et *θέσις* alterum alterius loco ponere vult Westph. (Metrik², p. 617) || **12** *ᾖ* **AC** : *ἦν* **B** | ⊢ **AB** : Y **C** || **14** — **C**: om. **B**: om. **A** in fine paginae; in capite sequentis scriptor aliquibus membranae foraminibus coactus est, ut spatium octo versuum intericeret || **16** *ἐν* coni. Vc | *κεχυμένα* **AB**: *κεχυμένας* **C**

Τὰ δὲ προειρημένα τοῦ μέλους ὀνόματά τε καὶ σημεῖα 4
καὶ σχήματα οὕτω τέτακται·

Πρόληψίς ἐστιν ἐκ τοῦ βαρυτέρου φθόγγου ἐπὶ τὸν ὀξύτερον κατὰ μέλος ἐπίτασις ἤτοι ἀνάδοσις, ἥν τινες καλοῦσιν ὑφὲν ἔσωθεν. τοῦτο δὲ γίγνεται ποικίλως, ἀμέσως τε καὶ διὰ μέσου, ἀμέσως μὲν οἷον F$_{\smile}$C, *ἐμμέσως δὲ οἷον διὰ τριῶν* F$_{\langle\smile\rangle}$∪, *διὰ τεσσάρων* F$_{\langle\smile\rangle}$⊓, *διὰ πέντε* F$_{\langle\smile\rangle}$<.

Ἔκληψις δὲ τὰ ὑπεναντία τούτοις ἀπὸ τῶν ὀξυτέρων 5
ἐπὶ τὰ βαρέα ἄνεσις οἷον ἀμέσως μὲν C$_{\smile}$F, *ἐμμέσως δὲ διὰ τριῶν* ∪$_{\smile}$F, *διὰ τεσσάρων* ⊓$_{\langle\smile\rangle}$F, *διὰ πέντε* <$_{\smile}$F.

Πρόκρουσίς ἐστιν ἑνός, τοῦτ᾽ ἔστιν ἐλάττονος χρόνου 6
δύο μέλη, τοῦτ᾽ ἔστι δύο φθόγγοι ἀπὸ τῶν βαρέων ἐπὶ τὰ ὀξέα οἷον ἀμέσως μὲν F$_{\{\smile\}}$C, *ἐμμέσως δὲ διὰ τριῶν* F∪, *διὰ τεσσάρων* F⊓, *διὰ πέντε* F<.

Ἔκκρουσις δὲ τὰ ὑπεναντία τούτοις ἀπὸ τῶν ὀξέων ἐπὶ 7
τὰ βαρέα οἷον ἀμέσως μὲν CF, *ἐμμέσως δὲ διὰ τριῶν* ∪F, *διὰ τεσσάρων* ⊓F, *διὰ πέντε* <F.

Ἐκκρουσμὸς δέ ἐστιν, ὅταν τοῦ αὐτοῦ φθόγγου δὶς λαμ- 8
βανομένου μέσος παραλαμβάνηται ὀξύτερος φθόγγος οἷον FCF$_{\{\smile\}}$C∪C.

Τὸν δὲ κομπισμὸν λέγομεν οὕτως ⟨τωντω ταντα⟩ F+F 9
C+C. *τὸν δὲ μελισμὸν λέγομεν οὕτως τωννω ταννα* FXFCXC.

3 *πρόληψις* AC: *πρόσληψις* B ‖ 6 F$_{\smile}$C C: F𝔊 B: om. A ‖ 7 F$_{\smile}$∪ corr. Bm: F<B: <F C: om. A ‖ 7.8 $_{\smile}$ utroque loco rest. Bm ‖ 9 *τὰ* om. C ‖ 10 C$_{\smile}$F A: 𝔊 F BC | *ἐμμέσως δὲ* — 14 *οἷον ἀμέσως μὲν* F$_{\smile}$C om. A ‖ 11 ∪$_{\smile}$F C: ∪F B | ⊓$_{\smile}$F corr. Bm: ⊓F BC | <$_{\smile}$F C: <F B ‖ 12 *πρόκρουσις* corr. Bm: *πρόσκρουσις* B: *πρόκουσις* C ‖ 13 *βαρέων* C: *βαρέως* B ‖ 14 FC corr. Bm: F𝔊 B: F$_{\smile}$C C ‖ 15 *διὰ τεσσάρων* bis scr. B ‖ 18 <F om. C ‖ 20 *ὀξύτερος* ABC: *βαρύτερος* coni. Re ‖ 21 FCF C∪C corr. Bm: FCF$_{\smile}$C∪C A: F𝔊F$_{\smile}$𝔊oσ B: FCFI COC C ‖ 22 *τωντω ταντα* supplevi; de harum syllabarum significatu cf. commentarium meum, quem in conspectu editionum memoravi | F+F AC: FΨF B ‖ 23 C+C AC: 𝔊+𝔊 B | *τωννω* AB: *τοονοο* C ‖ 24 X A primo loco, altero Ӽ : Ϫ utroque loco BC: X scripsi altero loco | C AC: 𝔊 utroque loco B

10 *Τὸν δὲ κοινὸν ἐκ τῆς συνθέσεως αὐτῶν σχηματισμὸν καλοῦμεν ἔνιοι τερετισμὸν κομ⟨πισ⟩μοῦ τε καὶ μελισμοῦ ἤτοι μελισμοῦ καὶ κομ⟨πισ⟩μοῦ. λέγομεν οὕτως τωντωννω* F+FXF.

Προκρούσεως δὲ γενομένης ἐκ τοῦ διὰ πασῶν κομπισμὸν ποιεῖ. ἑξῆς δὲ λέγομεν.

11 *Ἡ διαστολὴ ἐπί τε τῶν ᾠδῶν καὶ τῆς κρουματογραφίας παραλαμβάνεται ἀναπαύουσα καὶ χωρίζουσα τὰ προάγοντα ἀπὸ τῶν ἐπιφερομένων ἑξῆς. ἔστι δὲ αὐτῆς σχῆμα ⟨καὶ⟩ σημεῖον τόδε* 7.

1 nescio an *ὃν* supplendum sit post *σχηματισμὸν* || **2** *τερετισμὸν* **AC**: *τερεντισμὸν* **B** | *κομπισμοῦ* conieci: *κόμμου* — **3** *κόμμου* scholion putat Re || **3** *κομπισμοῦ* conieci | *τωντωννω* **AB**: *τῶν͂τ^ων͂νω* **C** || **4** XF conieci: ⅩΓ **A**: Ⲭ **B**: Ⲭ Γ **C** || **9** *αὐτῆς* **AB**: *αὐταῖς* **C** || **10** *καί* conieci | **7** conieci: /:· **A**: :- **B**, quo signo complures scriptores usi sunt ad graviorem aliquam caesuram indicandam: :**C**: ɔ coni. Vc: , coni. Re

ANONYMVS II

{Ὅρος μουσικῆς} *Μουσική ἐστιν ἐπιστήμη περὶ μέλος* 12
τὸ τέλειον θεωρητική τε τῶν ἐν αὐτῇ καὶ τοῖς μέρεσιν
αὐτῆς. ἄλλοι δὲ οὕτως· ἕξις θεωρητική τε καὶ πρακτικὴ
καὶ ποιητικὴ τῶν περὶ τὸ τέλειον μέλος. μουσικὸς δέ ἐστιν
ὁ ἔμπειρος τοῦ τελείου μέλους καὶ δυνάμενος ἐπ᾽ ἀκριβείας
τὸ πρέπον τηρῆσαί τε καὶ κρῖναι. ἔστι δὲ τῆς μουσικῆς 13
εἴδη ἕξ· ἁρμονικόν, ῥυθμικόν, μετρικόν, ὀργανικόν, ποι-
ητικόν, ὑποκριτικόν. καὶ τῆς μὲν ἁρμονικῆς εἰς τρόπους 14
δεκαπέντε διαιρουμένης ἴδιον τὸ περὶ τῶν τῆς μελῳδίας
γενῶν διαλαμβάνειν, πόσα τέ ἐστι καὶ ποῖα ταῦτα, καὶ ὡς
οὐ δυνατὸν πλείω γενέσθαι τριῶν, διατόνου τε καὶ χρώμα-
τος καὶ ἁρμονίας. τὸ γὰρ μικτὸν καλούμενον οὐχ ὡς
γένος παραληπτέον, γίνεται γὰρ ἐκ τῶν προειρημένων.
τῆς δὲ ῥυθμικῆς ἴδιον τὸ τὰς διαφορὰς τῶν κατὰ μέρος καὶ 15
κατ᾽ εἴδη ῥυθμῶν ἐκλογίζεσθαι τά τε τούτων γένη ὁμοίως
ὄντα τρία, ἰαμβικόν, δακτυλικόν, παιωνικόν. ἡ δὲ μετρικὴ 16
εἰς εἴδη διαιρουμένη πλείονα ποικιλωτέραν ἔχει τὴν πρακ-
τικήν, εἰς τρίμετρα γὰρ καὶ τετράμετρα καὶ πεντάμετρα
καὶ ἡρῷα καὶ ἐπῳδὰ καὶ ἄλλα μυρία ἃ ὑποτέτακται τῇ
μετρικῇ. ἡ δὲ ὀργανικὴ κατὰ τὴν τῶν ὀργάνων θεωρίαν, 17

sect. 13 Anon. III sect. 30; Porph. in Ptolem. harm. p. 5, 21–24 (Dür) || **sect. 14** *καὶ – διαιρουμένης* Alyp. p. 367, 19–21 (Jan); Anon. III sect. 66

1 *ὅρος μουσικῆς* seclusi; ab textu ipso non distinxit, sed in margine lineolam iuxta posuit **A**: minio in margine scr. **B**: in textum inser. **C**, postquam primum his verbis spatium reliquit | *Μουσική*] litteram initialem miniavit **B** || **2** *τὸ* **AC**: *καὶ* **B** || **5** *ὁ* om. **C** || **6** *ἔστι* **AB**: *ἔστη* **C** || **8** *ὑποκριτικόν* **B**: *ὑπο* in fine paginae et *ὑποκριτικόν* in capite sequentis **A**: *ὑποκρητικόν* **C** || **10** *τέ ἐστι* **AB**: *τέλῃ*^{ει} **C** || **20** *τῶν* om. **C**

ὧν ἃ μέν ἐστιν ἐμπνευστά, ἃ δὲ ἐντατά, ἃ δὲ ψιλά. ἐντατὰ
μέν ἐστιν ὄργανα κιθάρα τε καὶ λύρα καὶ τὰ παραπλήσια,
ἐμπνευστὰ δὲ αὐλοί τε καὶ ὑδραύλεις καὶ πτερά, ψιλὸν δὲ
ὄργανον κυρίως μὲν τὸ τοῦ ἀνθρώπου δι' οὗ μελῳδοῦμεν
18 καὶ οἱ ὀξύβαφοι δι' ὧν κρούοντές τινες μελῳδοῦσιν. τῆς
δὲ ποιητικῆς καὶ ὑποκριτικῆς παντί που δῆλα τὰ εἴδη.
19 Τῶν δὲ τῆς μουσικῆς μερῶν κυριώτατόν ἐστι καὶ πρῶ-
τον τὸ ἁρμονικόν, τῶν γὰρ πρώτων μουσικῆς πέφυκε θεω-
ρητική. πρῶτα δέ ἐστι φθόγγοι καὶ διαστήματα καὶ ὅσα
20 ἐκ τούτων συνίσταται. κεφάλαια δὲ τῆς ἁρμονικῆς τὰ
κυριώτατα καὶ πρῶτα περὶ ἃ μάλιστα ἐσπούδακεν ἑπτά,
πρῶτον μὲν τὸ περὶ φθόγγων διαλαβεῖν, δεύτερον τὸ περὶ
διαστημάτων, τρίτον περὶ συστημάτων, τέταρτον περὶ
γενῶν, πέμπτον περὶ τόνων, ἕκτον περὶ μεταβολῶν, ἕβδο-
21 μον περὶ μελοποιίας. πρῶτος δέ ἐστιν ἐν τοῖς διαστήμασι
φθόγγος, καθὸ ἐλάχιστός τέ ἐστι καὶ ἀμερὴς καὶ αὐτὸς
μὲν πάντα{ς} μετρῶν, αὐτὸς δὲ ὑπὸ μηδενὸς αὐτῶν μετρού-
μενος. ἔοικε δὲ ὁ φθόγγος ἐν μὲν γεωμετρίᾳ σημείῳ, ἐν
δὲ ἀριθμοῖς μονάδι, ἐν δὲ στοιχείοις γράμματι. καὶ ἔστιν
ὁ φθόγγος ἐμμελοῦς φωνῆς πτῶσις ἐπὶ μίαν τάσιν, τάσις δὲ
οἷον στάσις καὶ ἐνηρέμησις τῆς φωνῆς. λέγεται δὲ φθόγ-
γος κοινῶς, ἰδίως, ἰδιαίτατα, κοινῶς μὲν αὐτὸ τὸ ὄνομα,
ἰδίως δὲ ὁ χαρακτὴρ ὁ γράφων, ἰδιαίτατα δὲ αὐτὴ ἡ δύνα-

sect. 19 Aristox. harm. p. 1, 11—20 (Mb) || **sect. 20** Alyp. p. 367, 10—15 (Jan); Anon. III sect. 31; Porph. in Ptolem. harm. p. 5, 27—6, 3 (Dür) || **sect. 21** Anon. III sect. 48/49; Nicom. Ger. harm. p. 261, 4/5 (Jan); Nicom. Ger. excerpta p. 276, 13—277, 2 (Jan) | *καὶ ἔστιν — τάσιν* Aristox. harm. p. 15, 15/16 (Mb); Bacchius p. 306, 19/20 (Jan) | *λέγεται — λέγομεν* Bacchius p. 314, 5—14 (Jan)

1 *ἐντατά* **BC**: *ἐνταύτα* **A** || **3** *δὲ*^{2} om. **C** || **4** *δι' οὗ* **B**: *διὸ* **AC** || **5** ⟨*δὲ*⟩ *δι'* Hansen | *ὧν* **AC**: *ὃν* **B** || **6** *δῆλα* **AB**: *δῆλον* **C** || **8** *μουσικῆς* **Mon 215**: *μουσική* **ABC** || **9** *φθόγγοι* **AC**: *φθο* **B** || **15** *μελοποιίας* **AB**: *μελῳδοποιίας* **C** || **16** *ἐλάχιστος* **AC**: *ἐλάχιστον* **B** || **17** *πάντα* corr. Bm: *πάντας* **AB**: om. **C** || **19** *στοιχείοις γράμματι* codd.: *γράμμασι στοιχείῳ* maluit Jan (Philol. 30, 1871, p. 412 adnot. 9) || **20** *δὲ* om. **C** || **22** *ἰδίως — κοινῶς* om. **C** | *ὄνομα* recent.: ō **ABC** || **23** *γράφων* **ABC**: *γραφείς* coni. Vc

μις τοῦ φθόγγου, καθ' ἣν ὀξύν τινα ἢ βαρὺν λέγομεν. καὶ
γίνεται ὀξὺς μὲν δι' ἐπιτάσεως, βαρὺς δὲ δι' ἀνέσεως.
διάστημα δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ δύο φθόγγων ἀν- 22
ομοίων τῇ τάσει, τοῦ μὲν ὀξυτέρου, τοῦ δὲ βαρυτέρου.
σύστημα δέ ἐστι σύνταξις πλειόνων φθόγγων ἐν τῷ τῆς 23
φωνῆς τόπῳ θέσιν τινὰ ποιὰν ἔχουσα. τόπος δὲ τῆς φωνῆς
ἐστιν, ὃν διέξεισι μελῳδοῦσα ἐπὶ τὸ ὀξὺ καὶ βαρύ. ὁ τόνος 24
διαιρεῖται εἰς ἡμιτόνια δύο καὶ ἐν μὲν χρώματι εἰς διέσεις
τρεῖς, ἐν ἁρμονίᾳ δὲ εἰς τεταρτημόριον. ἐν δὲ τοῖς διαστή- 25
μασιν εἰ μὲν πρὸς ἡμιτόνιον καὶ τόνον ⟨καὶ τόνον⟩ προκόπ-
τοι τὰ τῆς μελῳδίας τὸ καλούμενον διάτονον ποιεῖ γένος,
εἰ δὲ καθ' ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ μεταξὺ τριημιτό-
νιον, χρῶμα ποιεῖ, εἰ δὲ κατὰ δίεσιν καὶ δίεσιν καὶ δίτονον
κινοῖτο, ἐναρμόνιον ποιεῖ γένος. διάτονον μὲν οὖν λέγεται, 26
ἐπειδὴ κατὰ τὸ πλεῖον διὰ τῶν τόνων θεωρεῖται τὸ διά-
στημα, ἀνδρικώτερον δὲ τοῦτο καὶ αὐστηρότερόν ἐστι,
χρῶμα δὲ ἤτοι παρὰ τὸ τετράφθαι πως ἐκ τοῦ διατονι-
κοῦ ἢ παρὰ τὸ χρώζειν μὲν αὐτὸ τὰ ἄλλα συστήματα, αὐ-
τὸ δὲ μὴ δεῖσθαί τινος ἐκείνων, ἐστὶ δὲ ἥδιστόν τε καὶ γοε-
ρώτατον. μεταβολαὶ τόνων γίνονται τετραχῶς, κατὰ 27
γένος, κατὰ ἦθος, κατὰ τόπον, κατὰ ῥυθμόν. καὶ ἡ μὲν
κατὰ γένος μεταβολὴ γίνεται, ὅταν ἐξ ἁρμονίας εἰς χρῶμα
μεταβολὴ γένηται ἢ ἀνάπαλιν, τὴν δὲ κατὰ ἦθος μετα-
βολὴν φήσομεν, ἣ ἔστιν ὅταν ἐν αὐτοῖς τοῖς τετραχόρδοις
τὰ ἤθη τῶν φθόγγων τὴν μετάπτωσιν λαμβάνῃ, τὴν δὲ

sect. 26 Aristid. Quint. p. 92, 22—26 (W.-I.); Boeth. inst. mus. I, 21

5 *Σύστημα*] litteram initialem miniavit **B** | *τῆς* **AC**: *τοῖς* **B** || **6** *τινὰ ποιὰν* **AC**: *ποιάν τινα* **B** || **7** *Ὁ* ut litteram initialem miniavit **B** || **8** post *διαιρεῖται* Vc inser. *ἐν διατόνῳ* || **9** *δὲ*[2] om. **A** || **10** *καὶ τόνον* conieci | *προκόπτοι* **AC**: *προκόπτει* **B** || **12** *μεταξὺ* **B**: *μετοξὺ* **AC** || **16** *αὐστηρότερον* **AB**: *αὐτοστηρότερον* **C** || **17** *παρὰ* **Par 2532**: *περὶ* **ABC** || **18** *παρὰ* **A**: *περὶ* **BC** || **19** *μὴ* **AB**: *τὸ μὴ* **C** || **20** *τόνων* **ABC**: *τοίνυν* coni. Jan (Philol. 30, 1871, p. 417) || **22** *γένος* corr. Bm: *μέλος* codd. || **23** *μεταβολὴ* **AB**: *μεταβολαὶ* **C** || **25** *λαμβάνῃ* **AB**: *λαμβάνει* **C**

κατὰ τόπον, ὅταν ὁ τόνος ἐκ τῶν ὑπατοειδῶν μεταβῇ εἰς τὰ μεσοειδῆ, τὴν δὲ κατὰ ῥυθμόν, ὅταν ἀπὸ τοῦ ὑποκειμένου ῥυθμοῦ εἰς ἕτερον ἡ μετάβασις γένηται.

28 *Ἡ φρύγιος ἁρμονία πρωτεύει ἐν τοῖς ἐμπνευστοῖς ὀργάνοις, μάρτυρες οἱ πρῶτοι εὑρεταί, Μαρσύας καὶ Ὕαγνις καὶ Ὄλυμπος οἱ Φρύγες. οἱ ὑδραῦλαι μόνοις τούτοις τοῖς τρόποις κέχρηνται οἵπερ εἰσὶν ἕξ· ὑπερλύδιον, ὑπεριάστιον, λύδιον, φρύγιον, ὑπολύδιον, ὑποφρύγιον. οἱ δὲ κιθαρῳδοὶ τέτρασι τούτοις ἁρμόζονται· ὑπεριαστίῳ, λυδίῳ, ὑπολυδίῳ, ἰαστίῳ. οἱ δὲ αὐληταὶ ἑπτά· ὑπεραιολίῳ, ὑπεριαστίῳ, ὑπολυδίῳ, λυδίῳ, φρυγίῳ, ἰαστίῳ, ὑποφρυγίῳ. οἱ τοῖς ὀρχηστικοῖς προσήκοντες μουσικοὶ ἑπτὰ τούτοις χρῶνται· ὑπερδωρίῳ, λυδίῳ, φρυγίῳ, δωρίῳ, ὑπολυδίῳ, ὑποφρυγίῳ, ὑποδωρίῳ.*

sect. 28 *κιθαρῳδοί*· Porph. in Ptolem. harm. p. 156, 8–10 (Dür) | *αὐληταί*· Pollux IV, 78

1 *μεταβῇ* **A**: idem **C** rest. ex *μεταβολῇ*: *μεταβολῇ* **B** || **3** signo :— **C** caesuram indicavit et spatium interiecit || **4** *Ἡ* **AB**: *Φ* alteram litterae initialis loco scr. **C**; de sectionis 28 auctore cf. praefat. p. VI || **6** *μόνοις τούτοις τοῖς* **B C**: *τούτοις μόνοις τοῖς* **A** || **10—11** *ἰαστίῳ — ὑπολυδίῳ* excepto *ὑπολυδίῳ* in marg. suppl. **B** || **11—13** *φρυγίῳ — λυδίῳ* bis scr. **C** || **11** *ἰαστίῳ ὑποφρυγίῳ* bis scr. **A**, sed *ἰουστίῳ* utroque loco || **14** signo :— caesuram vel finem indicavit et versum non explevit **C**: versum tantum non explevit **B**

ANONYMVS III

Μουσική ἐστιν ἐπιστήμη θεωρητικὴ καὶ πρακτικὴ 29
μέλους τελείου τε καὶ ὀργανικοῦ ἢ τέχνη πρεπόντων τε
καὶ μὴ πρεπόντων ἐν μέλεσι καὶ ῥυθμοῖς συντείνουσα πρὸς
ἠθῶν κατασκευήν. τέλειον δὲ μέλος ἐστὶ τὸ συγκείμενον
ἔκ τε λέξεως καὶ μέλους καὶ ῥυθμοῦ. τὸ δ' ὅλον καλεῖται
μέλος κατ' ἐπικράτειαν τοῦ ἑνὸς τῶν μορίων. ὀργανικὸν
δὲ μέλος λέγεται τὸ ἐκ τῶν συναφιεμένων ἀλλήλοις φθόγ-
γων, ὃ καλεῖται κροῦμα. τῆς οὖν μουσικῆς ἐκ τριῶν τῶν 30
συνεκτικωτάτων τελειουμένης ἁρμονικῆς, ῥυθμικῆς, με-
τρικῆς πρώτην τε τῇ τάξει καὶ στοιχειωδεστάτην νοη-
τέον τὴν περὶ τὸ ἡρμοσμένον πραγματείαν. αὕτη δὲ ἁρμο-
νικὴ καλεῖται. δεύτερον δὲ τὸ ῥυθμικὸν καὶ τρίτον τὸ
μετρικόν. ἔστι δὲ καὶ τέταρτον, τὸ ὀργανικὸν καὶ ποιητικὸν
καὶ ὑποκριτικόν. πρωτεῦον δὲ μέρος μουσικῆς ἡ ἁρμονική 31
ἐστι, τὰ γὰρ ἐν μουσικῇ πρῶτα αὕτη θεωρεῖ καὶ τὰ κυ-
ριώτατα ἑπτὰ ὄντα· πρῶτον περὶ φθόγγων, δεύτερον περὶ

sect. 29 *μουσική — ῥυθμοῖς* Aristid. Quint. p. 4,19–21 (W.-I.) || **sect. 30** *τῆς — καλεῖται* **Alyp.** p. 337, 3–7 (Jan) || **sect. 31 Alyp.** p. 367, 10–15 (Jan); Anon. II sect. 20; Porph. in Ptolem. harm. p. 5, 27–6, 3 (Dür)

1 inc. **D**

1 *Μουσική*] littera initialis miniata in **B**: ,,musica'' manu humanistica ut vid. in capite paginae suprascriptum in **A** || **2** [*τε*]¹ **D**, fort. om. || **3** *ἐν* **ACD**: *ἢ* **B** || **4** *κατα[σ]κευή[ν]* **D** | *μέλο[ς ἐστὶ]* **D** || **5** *δ' ὅλον* **BCD**: *λον* **A** || **7** *σ[υν]αφ[ιε]μένων* **D** || **8** [*τρι*]*ῶν τ[ῶν]* **D** || **9** *μ[ετρικῆς]* **D** || **10** *τε* **ABD**: *περὶ* **C** | *καὶ* **ACD**: *τὴν* **B** | *στοιχειω[δεστά]την* **D** || **11** [*τὴν*] **D** | *περὶ* **ABD**: *παρὰ* **C** | [*τὸ*] **D** || **12** *τὸ*¹ **ABD**: *τῷ* **C** | *καὶ* om. **B** || **13** *τὸ* **ABD**: *καὶ* **C** | *ποι[η]τικ[ὸν]* **D** || **14** *μουσικῆς* **ABD**: *μουσικῇ* **C** | *ἡ* om. **B** || **15** *καὶ* **ACD**: *ὡς* **B**

διαστημάτων, τρίτον περὶ συστημάτων, τέταρτον περὶ γε-
νῶν, πέμπτον περὶ τόνων, ἕκτον περὶ μεταβολῶν, ἕβδομον
32 *περὶ αὐτῆς τῆς μελοποιίας. ἔστι μὲν οὖν ἁρμονικὴ τέχνη*
λογικὴ περιέχουσα τὸν περὶ μουσικῆς λόγον, ἁρμονικὸς
δὲ ὁ τῷ συνηγορεῖν περὶ τοῦ μαθήματος πεπειραμένος.
33 *Τῆς φωνῆς τόπος ἔστι καὶ κατὰ τόπον κίνησις, καθ' ἣν*
34 *μελῳδοῦσα ὀξυτέρα καὶ βαρυτέρα γίγνεται. πᾶσα μὲν*
οὖν φωνὴ οὕτω δύναται κινεῖσθαι, ἀλλ' ἡ μέν ἐστι συν-
εχής, ἡ δὲ διαστηματικὴ κίνησις. κατὰ μὲν οὖν τὴν συνεχῆ
οἴεται ἡ ἀκοὴ μηδαμοῦ ἑστάναι, ἀλλὰ φέρεσθαι συνεχῶς
μέχρι σιωπῆς, κατὰ δὲ τὴν διαστηματικὴν ἐναντίως. δια-
βαίνουσα γὰρ ἵστησιν αὐτὴν ἐπὶ μιᾶς τάσεως, εἶτα πάλιν
ἐφ' ἑτέρας, καὶ τοῦτο συνεχῶς ποιοῦσα, λέγω δὲ συνεχῶς
κατὰ τὸν χρόνον, ὑπερβαίνουσα μὲν οὖν τοὺς περιεχομέ-
νους ὑπὸ τῶν τάσεων τόπους, ἱσταμένη δὲ ἐπ' αὐτῶν τῶν
τάσεων καὶ φθεγγομένη ταύτας μόνον αὐτὰς μελῳδεῖν
λέγεται καὶ κινεῖσθαι διαστηματικὴν κίνησιν. {καὶ καλεῖ-
35 *ται ἡ μὲν λογική, ἡ δὲ μελῳδική.} τὸν γὰρ τοῦτο ποιοῦντα*
οὐδείς φησι λέγειν, ἀλλ' ἀείδειν. ἑκάτερον δὲ ἐν τῇ τοῦ
λοιποῦ χρείᾳ ⟨φευκτέον⟩. ὅσῳ γὰρ ἱστάμεθα, γίγνεται τῇ
36 *ἀκοῇ τὸ μέλος ἀκριβέστερον. ἐπειδὴ τοίνυν ἀναγκαῖον ἐν*
τῷ μελῳδεῖν τὴν φωνὴν τὰς μὲν ἐπιτάσεις καὶ ἀνέσεις ἀφα-
νῶς ποιεῖσθαι, τὰς δὲ τάσεις αὐτὰς φθεγγομένην φανε-

6 inc. **ϱ** = **HS**

sect. 34 Aristox. harm. p. 8, 15—9, 1 et 10, 8/9 (Mb) || **sect. 35 Aristox.** harm. p. 9, 28—10, 6 (Mb) || **sect. 36 Aristox.** harm. p. 10, 11—29 (Mb)

5 *τῷ* **ACD**: *τῶν* **B** || **6** *φ[ων]ῆς* **D** | *[ἣ]ν* **D** || **10** post *ἑστάναι* Vc inser. *τὴν φωνὴν* || **11** *ἐναντίως* **ABDϱ**: *ἐναντίας* **C** || **13** *ἐφ'* **ACDϱ**: *ἀφ'* **B** | *ποιοῦσα, λέγω δὲ συνεχῶς* in marg. suppl. **C** || **14** *οὖν* om. **ϱ** || **15** *ἱσταμένη* **ABDϱ**: *ἱσταμένους* **C** || **16** post *μόνον* Vc inser. *κατ'* || **17** *[κίνησιν]* **D** | *καὶ* — **18** *μελῳδική* post **9** *κίνησις* fort. transponenda || **18** *γὰρ τοῦτο* **ACDϱ**: *τοῦτο γὰρ* **B** || **19** *δὲ* coni. Bm: *τε* codd. || **20** *φευκτέον* conieci ex Aristoxeno: lacunam coni. Bm: negavit Vc | *ὅσῳ* **ABCD**: *ὅσον* **ϱ**, idem coni. Vc || **22** *ἀφανῶς* **ABCDϱ**: *ἀφανεῖς* coni. Vc || **23** *φθεγγομένην* Aristoxenus: *φθεγγομένους* **ABD**: *φθεγγομένας* **ϱ**: *φθεγγομένη* **C**

ρὰς καθιστᾶν, ἐπειδήπερ τὸν μὲν τοῦ διαστήματος τόπον,
⟨ὃν⟩ διεξέρχεται ὁτὲ μὲν ἐπιτεινομένη, ὁτὲ δὲ ἀνιεμένη,
λανθάνειν αὐτὴν δεῖ διεξιοῦσαν, τοὺς δὲ ὁρίζοντας φθόγ-
γους τὰ διαστήματα ἐναργεῖς τε καὶ ἑστηκότας ἀποδιδό-
ναι, λεκτέον ἂν εἴη περὶ ἐπιτάσεώς τε καὶ ἀνέσεως, ἔτι δὲ
ὀξύτητός τε καὶ βαρύτητος, πρὸς δὲ τούτοις τάσεως καὶ
τῶν ἀκολούθων. ἐπίτασις μὲν οὖν ἐστι κίνησις τῆς φωνῆς
συνεχὴς ἐκ βαρυτέρου τόπου εἰς ὀξύτητα, ἄνεσις δὲ ἐξ
ὀξυτέρου τόπου εἰς βαρύτητα, ὀξύτης δὲ τὸ γενόμενον διὰ
τῆς ἐπιτάσεως, τὸ δὲ διὰ τῆς ἀνέσεως βαρύτης. ἐπιτείνον- 37
τες μὲν οὖν, ὡς ἐπὶ ὀργάνων εἰπεῖν, τὴν χορδὴν εἰς ὀξύ-
τητα αὐτὴν ἄγομεν, ἀνιέντες δὲ εἰς βαρύτητα. καθ' ὃν δὲ
χρόνον ἄγομεν καὶ μετακινοῦμεν τὴν χορδὴν εἰς ὀξύτητα,
οὔπω ἔστιν ἡ ὀξύτης, γίγνεται γὰρ καὶ μέλλει, ὁμοίως δὲ
καὶ ἡ βαρύτης. ἅμα γὰρ αἱ κινήσεις παύονται καὶ ἐπιφοιτᾷ
ἥ τε ὀξύτης καὶ ἡ βαρύτης. οὐ γὰρ ἐνδέχεται τὴν χορδὴν
ἅμα τε κινεῖσθαι καὶ ἑστάναι. διαφέρει οὖν ἀλλήλων τάδε 38
ὡς τὸ ποιοῦν τοῦ ποιουμένου. τάσις δέ ἐστι μονή τις καὶ
στάσις τῆς φωνῆς. τότε δὲ λέγομεν ἑστάναι τὴν φωνήν, 39
καίτοι τῆς φωνῆς κινήσεως οὔσης, ὅταν ἡμῖν ἡ αἴσθησις
αὐτὴν ἀποφήνῃ μήτ' ἐπὶ τὸ ὀξὺ μήτ' ἐπὶ τὸ βαρὺ ὁρμῶσαν.
ἐν μὲν γὰρ τῷ διαστήματι λέγοιτ' ἂν κινεῖσθαι ἡ φωνή,

sect. 37 Aristox. harm. p. 11, 8–19 (Mb) || **sect. 38 Aristox.** harm. p. 11, 26/27 (Mb) || **sect. 39 Aristox.** harm. p. 12, 2–4, 14–17, 20–22, 30–32 (Mb)

1 *τὸν* **ABCDϱ**: *ὃν* coni. Vc || **2** *ὃν* suppl. Bm ex Aristoxeno | *διεξέρχεται* **ABDϱ**: idem **C**, sed postea scr. *διεξάρχεται* || **3** *καὶ* ante *λανθάνειν* add. **ϱ** | *δεῖ* **S**, idem coni. Bm ex Aristoxeno: *δὲ* **ABCD**: om. **H** | *τ[οὺ]ς* **D** | *δὲ ὁρίζοντας* coni. Richter (quod in vulgus non edidit): *δ' ὁρίζοντας* coni. Bm: *διορίζοντας* codd. || **7** *[ἐπί]τασις* **D** | *τῆς* **CDS Par 2532**: *τις* **ABH** || **8** *βαρυτέρου* coni. Vc: *βαρυτάτου* **ABCD**: *βαρύτητος* **ϱ** | *ἐξ* om. **ϱ** || **9** *ὀξυτέρου* **ABCD**: *ὀξυτέρα* **H**: *ὀξύτητος* **S** || **10** *δὲ* om. **B** || **11** *ὀργάνων* **ACDS**: *ὀργάνῳ* **BH** | *τὴν* om. **B** || **13** *τε* ante *καὶ* add. **ϱ** | *χορδ[ὴν]* **D** || **14** *ἔστιν* scripsi: *ἐστὶν* **ACϱ**: *ἐστ[ὶν]* **D**: *γὰρ ἐστὶν* **B** | *ἡ* om. **ϱ** || **17** *ἑστά[ναι]* **D** || **19** *τῆς* om. **B** | *δὲ* om. **C** || **21** *ἀποφ[ήν]ῃ* **D** || **22** *μὲν γὰρ τῷ* **ABDϱ**: *τῷ γὰρ* **C**

ἵσταται δὲ ἐν τῷ φθόγγῳ. ἄλλως οὖν λέγεται ἠρεμία φωνῆς
40 παρὰ μουσικοῖς καὶ κίνησις, καὶ ἄλλως παρ᾽ ἄλλοις. ἐπί-
τασις μὲν γὰρ καὶ ἄνεσις κίνησις φωνῆς, τάσις δὲ ἠρεμία
41 καὶ διαφέρει ὀξύτητος καὶ βαρύτητος, ἐπ᾽ ἀμφοτέρων γὰρ
ἡ τάσις καὶ στάσις θεωρεῖται.
42 Εἰς μὲν τὴν φωνὴν τὴν ἀνθρωπίνην, ὥρισται κατὰ
τόπον, ὃν διεξέρχεται μελῳδοῦσα. ὥρισται γὰρ καὶ ὁ μέγι-
στος καὶ ὁ ἐλάχιστος τόπος ἐπ᾽ αὐτῆς, οὔτε γὰρ ἐπὶ τὸ
μέγα δύναται ἡ φωνὴ εἰς ἄπειρον αὔξειν τὴν τοῦ ὀξέος καὶ
βαρέος διάστασιν οὔτ᾽ ἐπὶ τὸ μικρὸν συνάγειν, ἀλλ᾽ ἵστα-
43 ταί που ἐφ᾽ ἑκάτερα. ὁριστέον οὖν ἑκάτερον αὐτῶν πρὸς
δύο ποιουμένους τὴν ἀναφοράν, τὸ φθεγγόμενον καὶ τὸ
κρῖνον, τοῦτ᾽ ἔστι φωνὴν καὶ ἀκοήν. ὃ γὰρ ἀδυνατοῦσιν
αὗται ἡ μὲν ποιῆσαι, ἡ δὲ κρῖναι, τοῦτο ἔξω θετέον τῆς
τε χρησίμου καὶ δυνατῆς ἐν φωνῇ γίγνεσθαι διαστάσεως.
ἅμα δ᾽ ἐπὶ τὸ μικρὸν ἀδυνατοῦσιν, οὔτε γὰρ ἡ φωνὴ δι-
έσεως ἐναρμονίου ἔλαττόν τι διάστημα δύναται διασαφεῖν
οὔτε ἡ ἀκοὴ αἰσθάνεσθαι ὥστε γε καὶ ξυνιέναι, τί μέρος
ἐστίν, εἴτε διέσεως εἴτε ἄλλου τινὸς τῶν γνωρίμων δια-
στημάτων. ἐπὶ δὲ τὸ μέγα (τῆς φωνῆς τὸ βαρὺ καὶ τὸ ὀξὺ
ὁ μουσικὸς σκοπεῖ, τοῦτ᾽ ἔστι πλατὺ καὶ στενὸν ἐκ τοῦ
περὶ τὴν ἀρτηρίαν πάθους) τάχ᾽ ἂν δόξειεν ὑπερτείνειν τὴν
44 φωνὴν ἡ ἀκοή, οὐ μὴν πολλῷ τινι. ἔστιν οὖν ἴδιον μὲν τῆς
ἀκοῆς τὸ ἐπὶ τὸ μέγιστον, τῆς δὲ φωνῆς τὸ ἐπὶ τὸ ἐλάχι-

sect. 40 Aristox. harm. p. 13, 1–7 (Mb) ‖ **sect. 41 Aristox.** harm. p. 13, 18–25 (Mb) ‖ **sect. 42–44 Aristox.** harm. p. 14, 1–28 (Mb)

2 *παρὰ μουσικοῖς* **DS**: *περὶ μουσικοῖς* **A**: *περὶ μουσικῆς* **B**: *παρὰ μουσικῆς* **CH** ‖ **3** *γὰρ* om. **D** ‖ **3—4** [*δὲ — διαφέρει*] **D** | *ἠρεμία καὶ* coni. Bm: *καὶ ἠρεμία* codd. ‖ **5** *ἡ* post *καὶ* add. **ϱ** ‖ **6 S** sectiones 42—44 inscr. *περὶ τῆς τοῦ ὀξέως τε καὶ βαρέως διαστάσεως, πότερον ἄπειρον ἐφ᾽ ἑκάτερα ἐστὶν ἢ πεπέρασται* ‖ **9** *ὀξέος* **AB CD**: *ὀξέως* **ϱ** ‖ **10** *βαρέος* **ABD**: *βαρέως* **Cϱ** | *διάστασιν* **ABC Dϱ**: *διάτασιν* Aristoxenus secundum da Rios, sic et reliquis locis ‖ **13** *κρῖνον* **ABCD**: *κρινόμενον* **ϱ** | *ὃ* **ABCD**: *οὐ* **ϱ** | *ἀδυνατοῦ*[*σι*]*ν* **D** ‖ **14** *κρῖναι* **ABCDϱ**: *κρίναι* coni. Vc ‖ **21** [*καὶ στ*]*ενὸν* **D** ‖ **23** [*τινι*] **D** ‖ **24** *τὸ μέγιστον — ἐπὶ* om. **C**

στον πέρας ἢ κοινὸν ἀμφοτέρων. ὅπως δ' οὖν {ε} ἂν λαμ-
βάνη⟨ται⟩, ὥρισται ἥ τε τοῦ ὀξέος καὶ βαρέος διάστασις
εἴς τε τὴν φωνὴν ⟨καὶ τὴν ἀκοὴν⟩ τεθεῖσα. εἰ δὲ ταύτῃ
καθ' αὑτὴν νοηθείσῃ τῇ τοῦ μέλους φύσει τὴν αὔξησιν
ἄπειρον συμβήσεται γίγνεσθαι, ἄλλος λόγος οὐκ ἀναγ-
καῖος εἰς τὸ παρόν.
Τοῦ μέλους τὸ μέν ἐστι λογῶδες, τὸ δὲ μουσικόν. 45
λογῶδες μὲν οὖν ἐστι τὸ συγκείμενον ἐκ τῶν προσῳδιῶν
τῶν ἐν τοῖς ὀνόμασι, φυσικὸν γὰρ τὸ ἐπιτείνειν τε καὶ
ἀνιέναι τὴν φωνὴν ἐν τῷ διαλέγεσθαι, μουσικὸν δέ
ἐστι μέλος, περὶ ὃ καὶ ἡ ἁρμονικὴ καταγίγνεται, τὸ δια-
στηματικὸν τὸ ἐκ φθόγγων τε καὶ διαστημάτων συγκείμε-
νον, δεῖ γὰρ ἐν τούτῳ διαστηματικὴν εἶναι τὴν τῆς φωνῆς
κίνησιν καὶ πλείονας εἶναι τὰς μονάς. οὐ μόνον δὲ ἐκ δια- 46
στημάτων καὶ φθόγγων δεῖ συνεστάναι τὸ ἡρμοσμένον
μέλος καὶ ἔχον τὴν προσήκουσαν τάξιν, ἀλλὰ προσδεῖται
ποιᾶς τινος θέσεως καὶ οὐ τῆς τυχούσης, τὸ γὰρ ἐκ δια-
στημάτων καὶ φθόγγων συνεστάναι κοινὸν καὶ τῷ ἀναρ-
μόστῳ, ὥστε εἰς τὴν ὀρθῶς γιγνομένην σύστασιν τοῦ μέ- 47

sect. 45—47 Aristox. harm. p. 18, 8—19, 1 (Mb)

12 post *συγκείμενον* des. **H**

1 [*πέρας ἢ κο*]*ινὸν* **D** | *ἂν* coni. Bm | *λαμβάνηται* conieci: *λαμβάνη* **ABDϱ**: *λαμβάνει* **C**: *λαμβάνη τις* coni. Bm || **2** *ὀξέος* **ABCD**: *ὀξέως* **ϱ** | *βαρέος* **ABCD**: *βαρέως* **ϱ** | *διάστασις* **ABCDϱ**: *διάτασις* coni. Vc || **3** *καὶ τὴν ἀκοὴν* suppl. Bm ex Aristoxeno | *τεθεῖσα* coni. Bm ex Aristoxeno: *τίθησιν* codd. | *ταύτῃ* **ABDH**: *ταύτην* **CS**: *αὐτῇ* coni. Bm ex Aristoxeno || **4** *νοηθείσῃ* **ABCD**: *νοηθήσει* **H**: *νοηθείη* **S**, Aristoxenus | *τ*[*οῦ*] **D** | *φύσει* **ABCDϱ**: *φύσις* coni. Vc || **4.5** *αὔξησ*[*ιν ἄπει*]*ρον* **D** || **5** ante *ἄπειρον* s. v. *εἰς* add. **B** | *ἄλλος* conieci ex Aristoxeno: *ἀλλ' ὁ* codd. || **7 S** sectiones 45—47 inscr. *περὶ μέλους* | *μ*[*έν ἐστι*] **D** || **8** *λογῶδες μὲν οὖν ἐστι* om. **ϱ** || **9** *τε* om. **D** || **11** *περὶ* **ABDϱ**: *παρὰ* **C** | *ἁρμονικὴ* **ABCD**: *ἁρμονία* **ϱ** || **12** [*τε*] **D** | *διαστημάτων* **ABDϱ**: *διάστημα* **C** || **14** *εἶναι* **ACD**: *ἑνὸς* **S**: om. **B** | [*δὲ*] **D** | *διαστημάτων* **ABCD**: *διαστήματος* **S** || **16** *ἔχον* **ABDS**: *ἔχων* **C** | *τάξ*[*ιν, ἀλλ*]*ὰ* **D** | *τάξιν* **ABC** ac **D** ut vid.: *στάσιν* **S** || **17** *ποιᾶς* **ABC**: [*ποιᾶς*] **D**: *μιᾶς* **S** | *θέσεως* **ABCDS**: *συνθέσεως* coni. Vc | *τυχού*[*σης*] **D** || **18** *κοινὸν* **ABDS**: *κινὸν* **C** || **19** *ὀρθῶς* **ABCD**: *κοινῶς* **S** | *γιγνομένην* **ABDS**: *γιγνωσμένην* **C** | *σύστασιν* **ACDS**: *στάσιν* **B**

λους τὸ πλείστην ἔχον ῥοπὴν περὶ τὴν σύνθεσίν που καὶ τὴν ταύτης ἰδιότητα ὑποληπτέον. τοῦ μὲν οὖν ἐπὶ τῆς λέξεως μέλους διοίσει τὸ μουσικὸν τῷ διαστηματικῇ κεχρῆσθαι κινήσει τῆς φωνῆς, τοῦ δὲ ἀναρμόστου τε καὶ διημαρτημένου τῇ τῆς συνθέσεως διαφορᾷ τῶν διαστημάτων.

48 *Ὁ φθόγγος κοινῶς μέν ἐστιν αὐτὸ τὸ ὄνομα, ἰδίως ὁ χαρακτὴρ ὁ γραφόμενος, ἰδιαίτατα δὲ ἡ δύναμις αὐτοῦ τοῦ φθόγγου, καθ' ἣν ὀξύν τινα ἢ βαρὺν λέγομεν, ὃν καὶ ὁριζόμενοί φαμεν. φθόγγος δέ ἐστι φωνῆς ἐμμελοῦς πτῶσις ἐπὶ μίαν τάσιν. καὶ τότε γὰρ φαίνεται φθόγγος εἶναι τοιοῦτος οἷος εἰς μέλος τάττεσθαι ἡρμοσμένον, ὅταν ἡ φωνὴ φανῇ ἑστάναι {καὶ} ἐπὶ μιᾶς τάσεως. τάσις δέ ἐστιν οἷον*
49 *στάσις καὶ μονὴ τῆς φωνῆς. ἔστι δὲ τῶν ἐν μουσικῇ ὁ φθόγγος τὸ ἐλάχιστον καὶ ἀδιαίρετον ὡς μονὰς ἐν ἀριθμῷ καὶ σημεῖον ἐν γραμμῇ. ἔστι δὲ ὁ φθόγγος κοινὸν κατηγόρημα ὀξύτητός τε καὶ βαρύτητος.*

50 *Διάστημά ἐστι τὸ περιεχόμενον ἤτοι ὡρισμένον ὑπὸ δύο φθόγγων ἀνομοίων τῇ τάσει. τὸ γὰρ διάστημα φαίνεται, ὡς τύπῳ εἰπεῖν, τάσεων διαφορὰ εἶναι καὶ ὅλως τόπος δεκτικὸς φθόγγων ὀξυτέρων μὲν ἅτε πέρας οὔσης τῆς τῶν*

sect. 48/49 Anon. II sect. 21; Nicom. Ger. harm. p. 261, 4/5 (Jan); Nicom. Ger. excerpta p. 276, 13–277, 2 (Jan) | *φθόγγος*² — *τάσεως* Aristox. harm. p. 15, 15–21 (Mb) || **sect. 50** Aristox. harm. p. 15, 23–32 (Mb)

17 inc. **H**

1 *πλείστην* **ACDS**: *πλεῖστον* **B** | *που* om. **S** || **2** *ἰδιότητα* **ABDS**: *διότητα* **C** | *ὑποληπτέον* **ABCD**: *ὑποληπτικόν* **S** || **3** *διαστηματικῇ* **ABDS**: *διαστηματικῷ* **C** || **4** *ἀναρμόστου* **ABDS**: *ἐναρμόστου* **C** || **6** **S** sectiones 48/49 inscr. *περὶ φθόγκου* (sic) | *κοινῶς* **ABC**: *κοινὸς* **DS** | *δὲ* post *ἰδίως* inser. **DS** || **7** *αὐτοῦ* **ABCD**: *αὐτὴ* **S** || **8** [*τινα*] **D** | *λέγομεν, ὃν* **ABCD**: *λεγόμενον* **S** || **9** *φαμεν* in marg. add. **C** || **10** *στάσιν* **ABCS**: in *τάσιν* corr. ut vid. **D** | *φθόγγος* om. **S** || **12** secl. Bm | *ἐστιν* om. **C** || **13** *δὲ* om. **S** || **14** *ἀριθμῷ* **ABCD**: *ῷ* **S** || **16** *τε* om. **D** || **17** **S** sectiones 50/51 inscr. *περὶ διαστήματος* | *δέ* post *διάστημα* inser. **DH** || **19** *ὅλως* **BCϱ** ac fort. **D**: *ὅλος* **A** || **20** *ἅτε* conieci, cf. Gaudentium p. 334, 5 (Jan) et Nicomachum p. 256, 7 (Jan): *οὔτε* codd.: *βαρυτέρας* pro *οὔτε πέρας* coni. Bm, idem Vc | *οὔσης* **ABCD**: *οὐσῶν* **ϱ**

*ὁριζουσῶν τὸ διάστημα τάσεων βαρυτέρας, ⟨βαρυτέρων⟩
δὲ ἀνάπαλιν. διαφορὰ δέ ἐστι τῶν τάσεων τὸ μᾶλλον ἢ
ἧττον τετάσθαι.*

Σύστημα δέ ἐστι σύνταξις πλειόνων φθόγγων ἐν τῷ τῆς 51
*φωνῆς τόπῳ θέσιν τινὰ ποιὰν ἔχουσα ἢ τὸ ἐκ πλειόνων
ἢ ἑνὸς διαστήματος συνεστώς.*

Τῶν μελῳδουμένων τρία γένη ἐστίν· ἁρμονία, χρῶμα, 52
*διάτονον. ἁρμονία μέν ἐστιν, ἐν ᾗ τὸ πυκνὸν ἡμιτονιαῖον.
αὕτη δέ ἐστι μονοειδής. χρώματος δὲ εἴδη τρία· πρῶτον* 53
*μὲν καὶ ἐλάχιστον τὸ μαλακὸν καλούμενον, ἐν ᾧ τὸ πυκνὸν τριῶν ἐστι διέσεων ἐναρμονίων μεῖον δωδεκατημορίῳ
τόνου. δεύτερον δὲ τὸ ἡμιόλιον καλούμενον. τοῦτο δ' ἐστίν,
ἐν ᾧ τὸ πυκνὸν ἡμιτονίου ἐστὶ καὶ διέσεως ἐναρμονίου.
τρίτον τὸ σύντονον καλούμενον, ἐν ᾧ τὸ πυκνὸν ἡμιτόνιόν
ἐστι. διατόνου δὲ εἴδη δύο· πρῶτον μὲν καὶ ἐλάχιστον τὸ* 54
*μαλακὸν καλούμενον. τοῦτο δ' ἐστίν, ἐν ᾧ τὸ μὲν {ἀπὸ}
ὑπάτης ⟨καὶ παρυπάτης διάστημα ἡμιτονιαῖόν ἐστι, τὸ
δὲ παρυπάτης⟩ καὶ λιχανοῦ ἐννέα δωδεκατημορίων ἀσύνθετον λαμβανομένων. δεύτερον δὲ τὸ σύντονον καλούμενον, ἐν ᾧ τὸ μὲν {ἀπὸ} ὑπάτης καὶ παρυπάτης διάστημα*

sect. 51 *ἐν — ἔχουσα* **Aristox.** harm. p. 7, 10/11 (Mb) | *τὸ — συνεστώς* **Aristox.** harm. p. 15, 34–16, 1 (Mb) || **sect. 52—55 Aristox.** harm. p. 24, 15–25, 11 (Mb) || **sect. 52** *τῶν — διάτονον* **Aristox.** harm. p. 44, 21/22 (Mb) | *ἁρμονία*² — *ἡμιτονιαῖον* **Aristox.** harm. p. 50, 22–24 (Mb) || **sect. 53 Aristox.** harm. p. 50, 25–51, 11 (Mb) || **sect. 54 Aristox.** harm. p. 51, 22–31 (Mb)

1 *τάσεων* Aristoxenus: *τάσεως* codd. | *βαρυτέρων* supplevi || **2** post *ἀνάπαλιν* Vc inser. *τῆς ὀξυτέρας* || **5** *ἢ* — **6** *συνεστώς* om. **H** || **6** *διαστήματος* **ACDS**: *συστήματος* **B** | *συνεστώς* **ABCD**: *συνεστός* **S** || **7 S** sectiones 52—57 inscr. *περὶ γενῶν* | *τῶν* **ABD** *ϱ*: *τοῦ* **C** | *γένη ἐστίν* **ABCD**: *ἐστὶν γένη* *ϱ* || **8** post *μέν* *ϱ* inser. *οὖν* || **10** *καλού[με]νον* **D** || **11** *μεῖον* coni. Bm: *ἀεὶ* codd.: *ἑνὶ δωδεκατημορίῳ ἔλαττον* in ras. coni. **D** sec. m. || **13** *[δι]έσεως* **D** || **14** *ἡμιτόνιον* **ABCD** *ϱ*: *δύο ἡμιτονίων* coni. Vc || **16** *τοῦτο* — **19** *καλούμενον* om. **H** | *ἀπὸ* seclusi: hab. **ACD**: *ὑπὸ* **BS** || **17** *καὶ* — **18** *παρυπάτης* supplevi, idem fere Bm hoc modo *τὸ μὲν ὑπ{ο}⟨άτης καὶ παρυπάτης — τὸ δὲ παρ⟩υπάτης* || **20** *ἀπὸ* secl. Bm | *τὸ* post *καὶ* hab. **ABCD**: secl. *ϱ* **Par 2460**

55 ἡμιτονιαῖόν ἐστι, τὸ δὲ παρυπάτης καὶ λιχανοῦ τονιαῖον.
56 ἡ δὲ ἁρμονία ὥς φαμεν μονοειδὴς ὑπάρχει. πυκνὸν δέ ἐστι
τὸ ἐκ δύο διαστημάτων περιεχόμενον ἔλαττον τοῦ κατα-
λειπομένου διαστήματος εἰς τὴν διὰ τεσσάρων συμφωνίαν.
57 ἐν δὲ τοῖς εἰρημένοις γένεσι λιχανοὶ μέν εἰσιν ἕξ, παρ-
υπάται δὲ τέσσαρες. λίχανοῦ δέ ἐστιν ὁ σύμπας τόπος, ἐν
ᾧ κινεῖται, τονιαῖος, ὁ δὲ τῆς παρυπάτης τόπος διέσεως
ἐλαχίστης.
58 Διαστημάτων εἰσὶ διαφοραὶ πέντε, πρώτη μέν, καθ᾽ ἣν
μεγέθει διαφέρει, δευτέρα δέ, καθ᾽ ἣν τὰ μὲν σύμφωνα,
τὰ δὲ διάφωνα, τρίτη δέ, καθ᾽ ἣν τὰ μέν ἐστι σύνθετα, τὰ
δὲ ἀσύνθετα, τετάρτη δέ, καθ᾽ ἣν γένει, πέμπτη, καθ᾽
59 ἣν τὰ μέν ἐστι ῥητά, τὰ δὲ ἄλογα. τῶν συμφώνων διαστη-
μάτων ὀκτὼ ὄντων, ἀφ᾽ ὧν τριῶν ἐλαχίστων τὸ μὲν διὰ
τεσσάρων διαιρεῖται εἰς σχήματα τρία, τὸ δὲ διὰ πέντε εἰς
60 τέσσαρα, τὸ δὲ διὰ πασῶν εἰς ἑπτά. τῶν δὲ τοῦ διὰ τεσ-
σάρων σχημάτων πρῶτον μέν, οὗ τὸ πυκνὸν ἐπὶ τὸ βαρὺ
ἀπὸ ὑπάτης μέσων ἐπὶ μέσην, δεύτερον δέ, οὗ αἱ διέσεις ἐφ᾽
ἑκάτερα τοῦ δι{α}τόνου ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην
συνημμένων, τρίτον δέ, οὗ {πρῶτον τὸ ἡμιτόνιον ἢ τέλος

sect. 56 Aristox. harm. p. 24, 11–14 et 50, 15–19 (Mb) || **sect. 57** *ἐν — τέσσαρες* **Aristox.** harm. p. 51, 31–52, 8 (Mb) | *λιχανοῦ — ἐλαχίστης* **Aristox.** harm. p. 23, 24–26 et 46, 32–47, 3 (Mb) | *λιχανοῦ — τονιαῖος* **Aristox.** harm. p. 22, 27/28 (Mb) || **sect. 58 Aristox.** harm. p. 16, 17–31 (Mb) || **sect. 59/60 Aristox.** harm. p. 74, 17–25 (Mb)

8 des. **D**

2 *ἁρμονία* coni. Bm: *ἁρμονικὴ* codd. || **3** *ἔλαττον* **Neap 1**: *ἐλαττόνου* **S**: *ἐλαττόνων* **ABCDH** | *καταλειπομένου* **ABCD**: *καλουμένου* **S**, et **H** ut vid. || **4** post *τὴν* **D** inser. *τῶν* || **9** **S** sectiones 58–62 inscr. *περὶ διαστημάτων* | *τῶν* ante *διαστημάτων* add. **H**, idem coni. Vc || **11** *τὰ δὲ διάφωνα* om. **ϱ** || **12** *γένει* **ABC**: *γένη* **ϱ** || **13** post *ἄλογα* signo :— caesuram indicavit **C** | *τῶν* **ABϱ**: *ὧν δὲ* litterae initialis oblitus **C** || **15** *δὲ* om. **B** || **16–17** *τῶν δὲ τοῦ διὰ τεσσάρων σχημάτων* coni. Bm: *τοῦ δὲ τῶν διὰ τεσσάρων σχήματα* **AB**: *τοῦ διὰ τεσσάρων σχήματα* **C**: *τούτων δὲ τῶν τεσσάρων σχημάτων* **ϱ** || **18** *μέσην* **ABC**: *μέσον* **ϱ** || **19** *διτόνου* corr. Bm | *παρυπάτης* **ABC**: *ὑπάτης* **ϱ** || **20** *τρίτον δὲ, οὗ* **ABC**: *τούτου, ἢ* **ϱ** | *πρῶτον* — p. 17, 1 *οὖν* secl. Bm

ἢ μέσον ἐστὶν οὖν} τὸ πυκνὸν ἐπὶ τὸ ὀξὺ ἀπὸ λιχανοῦ
μέσων ἐναρμονίου ἐπὶ παρανήτην συνημμένων ἐναρμόνιον.
⟨(τοῦ διατόνου, οὗ πρῶτον τὸ ἡμιτόνιον ἢ τέλος ἢ μέσον
ἐστίν)⟩. τῶν δὲ τοῦ διὰ πέντε σχημάτων πρῶτον μέν ἐστιν, 61
οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ ὑπάτης μέσων ἐπὶ παρα-
μέσην, δεύτερον δέ, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ
παρυπάτης μέσων ἐπὶ τρίτην διεζευγμένων, τρίτον δέ, οὗ
τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ λιχανοῦ μέσων ἐναρμονίου
ἢ χρωματικῆς ἢ διατόνου ἐπὶ παρανήτην διεζευγμένων
ἐναρμόνιον ἢ χρωματικὴν ἢ διάτονον, τέταρτον δέ, οὗ
τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ μέσης ἐπὶ νήτην διεζευγ-
μένων. τῶν δὲ τοῦ διὰ πασῶν σχημάτων {ἐστὶ} πρῶτον 62
μέν ἐστιν, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ ὑπάτης ὑπα-
τῶν ἐπὶ παραμέσην, δεύτερον δέ, οὗ δεύτερος ὁ τόνος
ἐπὶ τὸ ὀξύ, ἀπὸ παρυπάτης ὑπατῶν ἐπὶ τρίτην διεζευγμέ-
νων, τρίτον δέ, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ, ἀπὸ λιχανοῦ
ὑπατῶν ἐναρμονίου ⟨ἢ χρωματικῆς ἢ διατόνου⟩ ἐπὶ παρα-
νήτην διεζευγμένων ἐναρμόνιον ἢ χρωματικὴν ἢ διάτο-

3 *τοῦ* — 4 *ἐστίν* in marg. scripta fuisse mihi videntur, unde alieno loco in textum irrepserunt || 4 *τοῦ διὰ* **ABϱ**: *διὰ τοῦ* **C** || 6 *ἀπὸ* **ACϱ**: *ἐπὶ* **B** || 7 *τρίτην* **ABϱ**: *τρίτους* **C** || 8 *τρίτος* om. **ϱ** | *μέσων* coni. Vc: *ὃν* **AB**: *ὅν* **C**: *τρίτον* **ϱ** || 9 *χρωματικῆς* **ACH**: *χρωματικοῦ* **BS** || 10 *χρωματικὴν* **AS**: *χρωματικὸν* **BH**, ut vid. et **C** | *ἢ διάτονον* corr. Bm: *ἢ τόνον* **H**: *κατὰ τόνον* **ABCS** || 12 post finem sententiae spatium interiecit **C** | *σχημάτων* **ϱ** **Par 2460**: *σχήματα* **ABC** | *ἐστὶ* ac *δὲ* secl. **ϱ** | post *ἐστὶ* spatium interiecerunt **ABC**: Bm suppl. *πρῶτον μὲν, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξὺ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην,* sed tonus diazeucticus hac figura omnino non includitur atque illa figura quae in codd. secunda vocatur re vera primum habet tonum, quae tertia dicitur secundum etc., praeterea octavae figuras septem esse supra dictum est; ergo tota sectione 62 numeros mutavi, eodem modo atque Vc (p. 226), qui rationem mediaevalem (octoechum) huc irrepsisse contendit || **12.13** *πρῶτον μέν* coni. Vc: *δεύτερον δέ* codd. || 13 *πρῶτος* coni. Vc: *δεύτερος* **ABϱ**: *θύτος* **C** || 14 *παραμέσην* **AB**: *παραμέσω* **C**: *μέσην* **ϱ** | *τρίτον* **ACS**: *τρίτος* **BH** | *τρίτος* **AB**: *τρίτου* **C**: om. **ϱ** | *ὁ* om. **C** || 15 *ἐπὶ*[2] om. **C** || 16 *τέταρτος* **ABC**: *τέταρτον* **ϱ** | *ὁ τόνος* **ABC**: *τὸ* **H**: om. **S** || 17 *ὑπατῶν* corr. Bm: *ὑπάτης* codd. | *ἢ χρωματικοῦ ἢ διατόνου* suppl. Bm, *χρωματικῆς* scr. Vc || 18 *χρωματικὴν* **CS**: *χρωματικὸν* **BH**, ut vid. et **A**

